www.tezaurliturgic.ro



## ΜΑΪΟΥ Δ΄
## ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΠΕΛΑΓΙΑΣ ΤΗΣ ΠΑΡΘΕΝΟΥ

### ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἀναστάντα ἐκ τάφου, καὶ καταργήσαντα, τὸ τοῦ θανάτου κράτος, Πελαγία θεόφρον, Χριστὸν τὸν ζωοδότην ὅλῃ ψυχῇ, μανικῶς ἀγαπήσασα, αὐτῷ νενύμφευσαι πόνοις μαρτυρικοῖς, ὑπὲρ φύσιν διαπρέψασα.

Τὸν ὡραιότατον κάλλει, Χριστὸν ποθήσασα, ἀνδρείως καθυπέστης, τὰς πληγὰς τῶν βασάνων, ἐν αἷς ὦ Πελαγία ὥσπερ φωστήρ, ἐξανέτειλας ἄδυτος, τῶν εὐσεβῶν τὰς χορείας μαρμαρυγαῖς, καταυγάζουσα τῆς χάριτος.

Πάθει σου μάρτυς τιμίῳ, ἐξεικονίσασα, Χριστοῦ ὦ Πελαγία, τοῦ Σωτῆρος τὸ πάθος, μετέσχες κατ᾽ ἀξίαν ἐν οὐρανοῖς, τῆς αὐτοῦ Ἀναστάσεως, ἀγήρω δόξης πρεσβεύουσα ἐκτενῶς, ὑπὲρ πάντων τῶν τιμώντων σε.

Θείας ἑκάστοτε μάρτυς, πηγάζεις χάριτας, καὶ φερωνύμως ῥεῖθρα, πελαγίζεις θαυμάτων, τοῖς σπεύδουσι προθύμως τῷ σῷ ναῷ, Πελαγία πολύαθλε, καὶ ἀνυμνοῦσιν ἐν ᾄσμασι πρεπωδῶς, τὸ γενναῖόν σου μαρτύριον.

Δόξα Πατρί. Ἦχος β΄.

Παρθενομάρτυς ἀθληφόρε, Πελαγία πανένδοξε, πολυωδύνων βασάνων ὁρμὰς καθυπομείνασα, τῆς ἀθεΐας τὴν ἔπαρσιν κατῄσχυνας· καὶ διαπλεύσασα βίου μαρτυρικῶς τὸ πέλαγος, εὗρες τὸν νυμφῶνα τῆς χαρᾶς, εἰς λιμένα ἀναπαύσεως. Διὸ τοὺς γεραίροντας τὴν μνήμην σου, ἀπὸ παντοίων ῥῦσαι πειρασμῶν, ἰσχύϊ τῆς πρεσβείας σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Νύμφη ὡς εὐκλεής, συνήφθης τῷ Κυρίῳ, προσάξασα ὡς προῖκα, αὐτῷ ὦ Πελαγία, τὰ ῥεῖθρα τῶν αἱμάτων σου.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Φρόνημα σταθηρόν, ὦ Μάρτυς κεκτημένη, ἐν ταῖς σφοδραῖς βασάνοις, τὴν ἔπαρσιν τῆς πλάνης, τελείως ἐταπείνωσας.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Πέλαγος τῆς ζωῆς, εὑροῦσα φερωνύμως, μαρτυρικοῖς σου πόνοις, ἡμῶν ὦ Πελαγία, σῶν ὑμνητῶν μνημόνευε.

Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὁ Θεός, Πάτερ Υἱὲ καὶ Πνεῦμα, μονὰς ἡ ἐν προσώποις, τρισὶ προσκυνουμένη, καὶ σῴζουσα τὰ σύμπαντα.

Καὶ νῦν. Θεοτοκίον.

Ἔρωτι τοῦ ἐκ σοῦ, τεχθέντος ἀπειράνδρως, ἡ Πελαγία Μῆτερ, τρωθεῖσα καθυπέστη, ἀν-

www.tezaurliturgic.ro



δρείως τὴν κατάφλεξιν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς δ' καὶ τῆς Ἁγίας τὰ κάτωθι δ'.

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Βάπτισμα τὸ πάνσεπτον, καὶ ἱερὸν καὶ σωτήριον, Πελαγία ποθήσασα, σπουδῇ ἐπεζήτησας, καὶ εὑροῦσα μάρτυς, τὸν μυσταγωγοῦντα, μετ' εὐφροσύνης καὶ χαρᾶς, τῷ ποθουμένῳ θᾶττον προσέδραμες, καὶ ξένων κατηξίωσαι, θεωριῶν ἀξιάγαστε· ὡς νεᾶνις ὀπίσω δέ, τοῦ Νυμφίου σου ἔδραμες.

Κόσμον τὸν ἐπίγειον, καταλιποῦσα ὡς πρόσκαιρον, καὶ φθαρτὸν καὶ εὐμάραντον, τὴν θείαν εὐπρέπειαν, ὡς ἀεὶ ἑστῶσαν, καὶ ὡς κεκτημένην, διηνεκῆ τὴν χαρμονήν, καὶ θυμηδίαν καὶ καθαρότητα, συντόνως κατεδίωξας, καὶ παρθενίᾳ προσείληφας, τῶν Μαρτύρων τὴν εὔκλειαν, δι' ἀμφοῖν ἀναλάμψασα.

Ἄπειρον καὶ ἄφραστον, τῶν σῶν θαυμάτων τὸ πέλαγος, Πελαγία πανεύφημε· Χριστὸν γὰρ ποθήσασα, καθαρᾷ καρδίᾳ, καὶ τελειοτάτῃ, τῶν αἰκισμῶν καὶ τοῦ πυρός, καὶ τῶν βασάνων καταπεφρόνηκας· διό σε καρτερόψυχε, θαλαμηπόλον οὐράνιον, ὁ Νυμφίος εἰργάσατο, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἔνδον χαλκουργήματος, πυρακτωθέντος τὸ πνεῦμά σου, παραθεῖσα τῷ Κτίστῃ σου, ζωὴν τὴν ἀκήρατον, ἐν ὑψίστοις εὗρες, μάρτυς Πελαγία, καὶ κατηυγάσθης τῷ φωτί, τῆς ἀνεσπέρου σεμνὴ λαμπρότητος· διὸ τοὺς ἑορτάζοντας, τὴν ἀεισέβαστον μνήμην σου, ἀπὸ πάσης διάσωσον, συμφορᾶς καὶ κακώσεως.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Ἀθλητριῶν τὴν καλλονήν, καὶ τῶν παρθένων δόξαν, τὸ τῆς ἀνδρείας θεότευκτον ἄγαλμα, καὶ πάγχρυσον σκεῦος τῆς παρθενίας, σήμερον μελῳδικοῖς ἐγκωμίοις, ἐπαξίως ὦ φιλέορτοι, εὐφημήσωμεν λέγοντες· Χαῖρε ἡ ἐνθέως τῇ χάριτι, Βαπτίσματος τοῦ θείου καταυγασθεῖσα, καὶ ἀξίως τῇ κλήσει διαπρέψασα· χαῖρε ἡ δι' ἀνδρείων ἀγώνων, τῶν χαμαὶ κειμένων ὑπεραρθεῖσα, καὶ ἀθλητικῶς Θεῷ οἰκειωθεῖσα· χαῖρε ἡ τὸν νυμφῶνα τῆς ζωῆς, εἰς τερπνήν σου εὑροῦσα κατοίκησιν, καὶ νῦν ἐν αὐτῷ ἐνηδομένη, μαρμαρυγαῖς φωτὸς τῆς θεώσεως. Πρέσβευε οὖν, Πελαγία μάρτυς ἀήττητε, τῷ δοξάσαντί σε Χριστῷ τῷ Θεῷ, δωρηθῆναι τῷ κόσμῳ τὴν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 144 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Δεῦτε σήμερον πάντες οἱ πιστοί, Χριστοῦ τὴν λογικὴν ἀμνάδα, Πελαγίαν ἐν ὕμνοις τιμήσωμεν, ὅτι τὴν ἄμαχον ἰσχὺν ἐνδυσαμένη τῆς πίστεως, ἐν ταῖς βασάνοις ἐδείχθη ἀνίκητος, καὶ τοῦ πυρὸς τὴν ἀλγηδόνα ἀνδρείᾳ ψυχῆς, καθυπέμεινε ἀκλινὴς διαμένουσα, ἐν τῶν μελλόντων τῇ ἐλπίδι κρατυνομένη, καὶ παῤῥησίᾳ τοῖς τυράννοις βοῶσα· Χριστὸς ἐστιν ἡ ζωὴ καὶ ἀνάστασις, τῶν εἰς αὐτὸν πιστευόντων. Αὐτῷ οὖν Παρθενομάρτυς ἱκέτευε, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος β'.

Ἡμεροφαὴς ὡς ἀστήρ, ἀναδειχθεῖσα Ἀθληφόρε, τὴν οἰκουμένην πᾶσαν καταυγάζεις, δαιμόνων σκότος ἀπελαύνουσα· τῆς ἐπιγνώσεως γὰρ τοῦ Χριστοῦ, μυστικῶς τῷ φωτὶ καταυγασθεῖσα, τὴν σκοτίαν τῆς πλάνης κατέλιπες, καὶ θάλαμον ὑπέρλαμπρον ἐν ὑψίστοις κατῴκησας, μαρτυρικῶς ἐπὶ γῆς ἀριστεύσασα. Ὅθεν τοὺς τελοῦντας τὴν μνήμην σου, ἐν τῷ φωτὶ τῶν θείων δικαιωμάτων, τῇ δυνάμει τῆς ἁγίας πρεσβείας σου, περιπατεῖν ἀξίως ἐνίσχυσον, Πελαγία σεμνὴ καλλιπάρθενε.

Ἦχος γ'.

Μνηστῆρα ἀρνησαμένη τὸν πρόσκαιρον, τῷ ἀθανάτῳ μεμνήστευσαι, Πελαγία παρθενομάρτυς πανεύφημε· Χριστὸν γὰρ ἐπιγνοῦσα Θεὸν

www.tezaurliturgic.ro



ἀληθινόν, τῶν εἰδώλων τὴν πλάνην κατέλιπες, καὶ εἰς ὀσμὴν μύρων αὐτοῦ, ἐν συντονίᾳ δραμοῦσα, μαρτυρικῶς τοῦ πόθου σου ἐπέτυχες. Ὅθεν εἰς τὸν νυμφῶνα τῆς ζωῆς, παρθένοις ταῖς φρονίμοις συγχορεύουσα, ὑπὲρ ἡμῶν ἐκτενῶς καθικέτευε, ἵνα λάβωμεν διὰ σοῦ, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ θεῖον ἔλεος.

Ἦχος δ΄.

Ὀχυρωθεῖσα τῇ εὐσεβείᾳ, Πελαγία πανεύφημε, τῶν δαιμόνων πλήθη κατηνάλωσας, καὶ εἰδώλων τὸ κέρας συνέτριψας· προμηθείᾳ γὰρ θεϊκῇ, εἰς πίστιν μετακληθεῖσα, ἐναντίον τυράννων θεομάχων, τὴν κλῆσίν σου στεῤῥῶς ἀνεκήρυξας, καὶ ἐν χαλκουργήματι βοὸς πυρακτωθέντι, ὡς ὁλοκαύτωμα ἀνηνέχθης καθαρόν, Χριστῷ τῷ Θεῷ καλλιπάρθενε. Ὅθεν ὑψόθεν δεξαμένη, τὰ ἔπαθλα ἱερῶς τῶν ἀγώνων σου, ταῖς τῶν Μαρτύρων συνήφθης χοροστασίαις, σὺν αὐτοῖς ἐκτενῶς ἱκετεύουσα, ὑπὲρ ἡμῶν τῶν τιμώντων, τὴν παναγίαν μνήμην σου.

Ἦχος πλ. α΄.

Παρθενομάρτυς Πελαγία πολύαθλε, τῆς παρθενίας σου τὴν λαμπάδα, ἄσβεστον ὡς φρόνιμος τηρήσασα, ἀντ᾽ ἐλαίου ἐπίανας μυστικῶς, αἵματι αὐτὴν τῆς ἀθλήσεως· διὰ τοῦτό σοι Χριστός, τὸν οὐράνιον νυμφῶνα ἠνέῳξε, καὶ εἰς νύμφην αὐτοῦ σε ἠγάγετο, πεποικιλμένην βασάνων τοῖς στίγμασιν. Ὅθεν ἐν αὐτῷ εὐφραινομένη, καὶ τοῦ ἀδύτου φωτὸς ἐπαπολαύουσα, τὸν φωτισμὸν ἡμῖν αἴτησαι, τοῖς πιστῶς εὐφημοῦσί σε.

Ἦχος πλ. β΄.

Δεῦτε σήμερον πιστοί, Πελαγίαν τὴν θαυμαστὴν Ἀθληφόρον, ἐν ὕμνοις εὐσεβοφρόνως τιμήσωμεν. Αὕτη γὰρ νηπίων ψελλίσματα, τυράννων τὰς θωπείας λογισαμένη, τοῖς ἀψύχοις εἰδώλοις θυσίαν οὐκ ἔνειμεν, ἀλλὰ τῷ ἐν Τριάδι μόνῳ Θεῷ, εὐσεβῶς τὴν λατρείαν προσάγουσα, πρὸς τὰς βασάνους ἀνδρείως ηὐτομόλησεν, ἐν αἷς πλέον ὡραιωθεῖσα, ὡς διπλῇ παρθενίᾳ καθαγνισθεῖσα, τῶν ψυχῶν τῷ Νυμφίῳ ἐνυμφεύθη. Ὅθεν μαρτυρικῇ νεκρώσει μελῶν, τὴν μακραίωνα ὠνησαμένη ζωήν, ὑπὲρ ἡμῶν δεήσεις ἀναφέρει, καὶ πελαγίζει πλουσίως χαρίσματα, τοῖς τελοῦσιν αὐτῆς τὸ μνημόσυνον.

Δόξα Πατρί. Ὁ αὐτός.

Δεῦτε σήμερον πιστοί, πνευματικὴν χορείαν κροτήσωμεν, καὶ τῇ Χριστοῦ Ἀθληφόρῳ, αἶνον δεκτὸν ἐκ πόθου προσάξωμεν. Ἰδοὺ γὰρ πάρεστι ἡμῖν, τῇ χαρμοσύνῳ αὐτῆς μνήμῃ, Πελαγία ἡ καλλιπάρθενος, τὰς δωρεὰς τῆς χάριτος, πελαγίζουσα φερωνύμως τοῖς βοῶσι· Χαίροις Πελαγία ἀήττητε μάρτυς, τοῦ ἀληθινοῦ βασιλέως Χριστοῦ, ἡ τοῦ Ἀποστόλου τῶν ἐθνῶν ὁμόπολις, καὶ αὐτοῦ ἐν τῷ λειμῶνι τῆς τρυφῆς συνέστιος, ὡς αὐτοῦ τὸν ἔνθεον ζῆλον, θεϊκῇ προμηθείᾳ ζηλώσασα. Πρέσβευε οὖν ἀοίδιμε, ᾧ παρίστασαι ἐν ὑψίστοις Θεῷ, εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Παρθενομάρτυς σεμνή, ἡ φαιδρυνθεῖσα μαρτυρίου τοῖς στίγμασι, καὶ ὅλη λελαμπρυσμένη, ἐν ταῖς σκηναῖς τῆς ζωῆς, τῆς ἀδιαδόχου νῦν χορεύουσα· Χριστοῦ γὰρ τὸ ὄνομα, ἐναντίον ἐβάστασας, κριτῶν ἀνόμων, τῆς σαρκὸς ἀφειδήσασα, ὡς ἀήττητος, τῶν μεγίστων κολάσεων. Ὅθεν ἀγαλλιώμενοι, τῷ πνεύματι σήμερον, ὦ Πελαγία ὑμνοῦμεν, τὸν σὲ δοξάσαντα Κύριον· ἀεὶ ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Χαίροις Παρθενομάρτυς σεμνή, ἡ τῶν ἀθέων καθελοῦσα τὴν ἔπαρσιν, καὶ ἄθλων σου συντονίᾳ, τοῦ ἀναστάντος Χριστοῦ, τὴν ἁγίαν πίστιν μεγαλύνασα· λαμπὰς ἡ ἀείφωτος, ψυχικῆς σταθερότητος, οἶκος ἀνδρείας, εὐσθενείας ἀνάκτορον, θεοδόμητον, καρτερίας, παλάτιον· ἄνθος τὸ εὐωδέστατον, ἀγάπης τῆς κρείττονος, τὸ πολυσύνθετον μύρον, τῆς εὐωδίας τοῦ Πνεύματος. Χριστὸν ἐκδυσώπει, Πελαγία ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Ἔρωτι τοῦ Δεσπότου Χριστοῦ, ὁλοσχερῶς κατασχεθεῖσα πανεύφημε, ὀπίσω αὐτοῦ προφρόνως, ἔδραμες ὅλῃ σπουδῇ, τὰ γεώδη πάντα καταλείψασα· καὶ μὴ δειλιάσασα, τῶν ἀθέων τὸ φρύαγμα, ἐν τῷ σταδίῳ, τὴν χριστώνυμον κλῆσίν σου, ἀνεκήρυξας, Πελαγία ἀοίδιμε. Ὅθεν ἐν χαλκουργήματι, φλεχθεῖσα τὸ σῶμά σου, τῷ ἐραστῇ σου

www.tezaurliturgic.ro



προσήχθης, θυσία ζῶσα εὐάρεστος. Αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Ὡς παρθένος φρονίμη καὶ πάγκαλος, ἐν ἀνδρείᾳ ἀκαταπλήκτῳ, τὸν βάσκανον τῶν Δικαίων ἐχθρόν, εἰς τέλος ἐταπείνωσας, Πελαγία μάρτυς ἀοίδιμε· διὰ γὰρ τῆς παλιγγενεσίας λουτροῦ, τὸν καινὸν ἐνδυσαμένη ἄνθρωπον, καὶ τῷ νυμφίῳ σου Χριστῷ ἀτενίζουσα, ἐν τῷ σταδίῳ αὐτὸν ἀνεκήρυξας, μὴ πτοηθεῖσα τὰς τῶν τυράννων ἀπειλάς· ἐντεῦθεν βασάνοις πικραῖς προσομιλήσασα, διὰ πυρὸς τὸν γενναιότατον ἀγῶνα, τῆς ὁμολογίας σου ἐτέλεσας, καὶ ἀνέπτης πρὸς οὐρανίους καλιάς, ὡς χρυσοπτέρυξ περιστερὰ ἀοίδιμε. Ἀλλ᾽ ὦ Παρθενομάρτυς ἔνδοξε, πρέσβευε ἀπαύστως τῷ δοξάσαντί σε Χριστῷ, ἐλεηθῆναι καὶ σῶσαι, τὰς ψυχὰς τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λουτρῷ τοῦ Βαπτίσματος, ἐνδυσαμένη Χριστόν, αὐτὸν ὡμολόγησας, ἐν τῷ σταδίῳ τρανῶς, Σωτῆρα καὶ Κύριον. Ὅθεν καταφλεχθεῖσα, ἀνυποίστως τὸ σῶμα, ζῶσα αὐτῷ προσήχθης, Πελαγία θυσία, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, ἐμφορουμένη, πῦρ τὸ ἔνυλον, οὐκ ἐλογίσω, Πελαγία Μαρτύρων ἀγλάϊσμα· καὶ τὴν ἀμώμητον πίστιν τηρήσασα, τῷ οὐρανίῳ Νυμφίῳ μεμνήστευσαι. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ τῆς Ἑορτῆς καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογία, Κάθισμα
Ἦχος α΄. Τὸν τάφον σου.

Ἀμνὰς ὡς λογική, τοῦ Χριστοῦ Πελαγία, ἐτύθης δι᾽ αὐτόν, θεολήπτῳ καρδίᾳ, πυρὸς καταφλέγοντος, νουνεχῶς ἀλογήσασα. Ὅθεν γέγονας, ἔνδον τοῦ θείου νυμφῶνος, ἱκετεύουσα, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν πάντιμον μνήμην σου.

Δόξα Πατρί. Ὅμοιον.

Ἐκ ῥίζης δυσσεβοῦς, ὥσπερ θεία ἐλαία, ἐβλάστησας σεμνή, θεϊκῇ προμηθείᾳ, καὶ πόνοις ἀθλήσεως, Πελαγία προσήγαγες, καρπὸν τέλειον, ἀθανασίας Κυρίῳ· ὃν ἱκέτευε, ὑπὲρ ἡμῶν προστρεχόντων, πιστῶς τῇ πρεσβείᾳ σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογία, Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ὅλῃ καρδίᾳ σου, Χριστὸν ποθήσασα, ψυχῶν τὸν ἔρωτα, τούτῳ νενύμφευσαι, προῖκα προσάξασα αὐτῷ, τοὺς πόνους τοῦ μαρτυρίου. Ὅθεν εἰς κατοίκησιν, τὸν νυμφῶνα τὸν ἄφθαρτον, ἔχουσα πανεύφημε, Πελαγία μνημόνευε, ἀπαύστως τῶν ἐν ὕμνοις τιμώντων, τὰς θαυμαστάς σου ἀριστείας.

Δόξα Πατρί. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Πατρικὴν ἀρνηθεῖσα, Μάρτυς δυσσέβειαν, τῆς εὐσεβείας τὸ κράτος, ὑπομονῇ σταθηρᾷ, καὶ ἀθλήσει καρτερᾷ, σεπτῶς ἐτράνωσας. Ὅθεν ἐν δόξῃ τῷ Χριστῷ, ἐν Παραδείσῳ τῆς τρυφῆς, παρέστης μετὰ Μαρτύρων, ὦ Πελαγία ἐκδυσωποῦσα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Συνταχθεῖσα Βαπτίσματος τῷ λουτρῷ, τῷ Νυμφίῳ πανεύφημε τῶν ψυχῶν, μνηστῆρα τὸν πρόσκαιρον, θεοφρόνως κατέλιπες, καὶ τοῦ Χριστοῦ ὀπίσω, σπουδῇ θείᾳ ἔδραμες, πιστῶς ἐκδεχομένη, νυμφῶνα τὸν ἄφθαρτον. Ὅθεν Πελαγία, δι᾽ ἀθλήσεως πόνων, βασάνων κολάσεων, καὶ πυρὸς καταφλέγοντος, τοῦ σοῦ πόθου ἐπέτυχες, πρεσβεύουσα ἀεὶ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

www.tezaurliturgic.ro



Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθηνε τὰ διαβήματά μου.

Εὐαγγέλιον, ζήτει τῇ ια΄ Ἰουλίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τῆς Ἀθληφόρου... Καὶ νῦν καὶ ἀεί. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Χριστοῦ τὴν λογικὴν ἀμνάδα, ὑμνήσωμεν ἅπαντες Πελαγίαν, ὅτι τῶν εἰδωλομανούντων τὰς ἐπινοίας, πάσας εἰς τέλος κατήργησεν, ἐν τῷ σταδίῳ Θεὸν ἀληθινόν, τὸν ἐκ τῆς Παρθένου σαρκωθέντα, δι᾿ εὐσπλαγχνίαν ἀνείκαστον κηρύξασα· ᾧ καὶ πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν εὐλαβῶς ἐπιτελούντων, μνήμην αὐτῆς τὴν ἀξιέπαινον.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Ἑορτῆς καὶ οἱ Κανόνες τῆς Ἁγίας. Κανὼν πρῶτος τῆς Ἁγίας, φέρων Ἀκροστιχίδα ἐν μὲν τοῖς τροπαρίοις τῆς Ἁγίας κατ᾿ Ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις τήνδε· «Κυρίλλου».

Ὠδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Ἀγλαόμορφος ἡμέρα, ἀνατέταλκε νῦν, δεῦτε πιστῶν οἱ δῆμοι, ἀγαλλιώμενοι φαιδρῶς, Πελαγίαν τὴν σεμνήν, Χριστοῦ τοῦ Θεοῦ, τὴν εὔτονον Μάρτυρα, κατ᾿ ἀξίαν τιμήσωμεν.

Βασιλέως ἐπιγείου, τὰς προσκαίρους τιμάς, Μάρτυς ἀπωσαμένη, ἀκαταπλήκτῳ λογισμῷ, δι᾿ ἀθλήσεως στεῤῥᾶς, Χριστῷ τῷ Θεῷ, ψυχῆς σου τῷ ἔρωτι, Πελαγία νενύμφευσαι.

Γενναιόφρονι καρδίᾳ, καὶ ἀνδρείᾳ ψυχῇ, πάσας τῶν ἀντιθέων, καταπατήσασα ὁρμάς, πρὸς ἀείζωον τρυφήν, καὶ θείαν ζωήν, μετέστης πυρίκαυστος, Πελαγία ἀήττητε.

Θεοτοκίον.

Κυριώνυμε παρθένε, τῆς ζωῆς ἡ πηγή, Μῆτερ εὐλογημένη, ἡ σωματώσασα φρικτῶς, εὐδοκίᾳ τοῦ Πατρός, τὸν Λόγον Χριστόν, αὐτὸν καθικέτευε, σῶσαι κόσμον ὃν ἔπλασε.

Κανὼν δεύτερος τῆς Ἁγίας, οὗ ἡ Ἀκροστιχίς· «Πελαγία τὸν αἶνον εἰκότως πλέκω». Ποίημα Θεοφάνους.

Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Πελάγει, τῶν σῶν θαυμάτων πλέοντι, αὔραν τοῦ Πνεύματος, νῦν μοι παράσχου μάρτυς τοῦ Χριστοῦ, Πελαγία πανεύφημε, καὶ πρὸς λιμένα εὔδιον, τῶν σῶν ἐπαίνων καθοδήγησον.

Ἐκ βρέφους, προγνωστικῶς τῷ Κτίστῃ σου, ἀνατεθεῖσα σεμνή, τὴν τῶν φθαρτῶν ἀπέῤῥιψας στοργήν, Πελαγία πανένδοξε· ἀῤῥενωπῶς τὰ πάθη δέ, θείᾳ δυνάμει κατεπάτησας.

Λουτρὸν μέν, ἐπιθυμοῦσα δέξασθαι, τὸ τοῦ Βαπτίσματος, ἱερουργὸν εὑροῦσα δὲ Χριστοῦ, Πελαγία προσέδραμες, καὶ μετασχοῦσα γέγονας, φωτὸς ἐνθέου Μάρτυς ἔμπλεως.

Θεοτοκίον.

Ἁγίων, ἁγιωτέρα πέφηνας, Παρθένε ἄχραντε, τὸν τῶν Ἁγίων Ἅγιον Χριστόν, ἐν ἀγκάλαις βαστάσασα, τὸν θεϊκαῖς δυνάμεσι, πᾶσαν τὴν κτίσιν περιέχοντα.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Δεῦτε πόμα πίωμεν.

Δεῦτε πάντες σήμερον λαοί, τὴν ἀκήρατον νύμφην Χριστοῦ ὑμνήσωμεν, ἀναβοῶντες αὐτῇ· Χαίροις Πελαγία τὸν ἐχθρόν, ἀθλήσει αἰσχύνασα.

Εὐφραίνεται γῆ καὶ οὐρανός, Πελαγίας τῇ μνήμῃ τῆς καλλιμάρτυρος· αὕτη γὰρ πόθῳ Χριστοῦ, ἐν τῷ χαλκουργήματι στεῤῥῶς, ὑπέστη τὸν θάνατον.

Ζῇς εἰς τοὺς αἰῶνας ἀληθῶς, συγχορεύουσα δήμοις Μαρτύρων ἔνδοξε, λαμπρυνομένη αὐγαῖς, μάρτυς Πελαγία τοῦ φωτός, Κυρίου τῆς χάριτος.

Θεοτοκίον.

Ὕμνοις εὐφημοῦμέν σε ἀεί, καὶ δοξάζομεν Μῆτερ τὸν θεῖον τόκον σου· Θεὸς γὰρ ὤφθη ἐκ σοῦ, λυτρούμενος κόσμον τῆς ἀρᾶς, ὡς μόνος φιλάνθρωπος.

Κανὼν δεύτερος. Εὐφραίνεται ἐπὶ σοί.

Γῆ ὥς πέρ τις ἀγαθή, προσηκαμένη λογικὰ σπέρματα, Μάρτυς Χριστοῦ πάνσοφε, ταῦτα δαψιλῶς ἐγεώργησας.

Ἰθύνθης ὡς ἐκλεκτή, πρὸς τὸν Δεσπότην καὶ Θεὸν σπεύδουσα, Μάρτυς Χριστοῦ ἔνδοξε, θείοις ῥωννυμένη διδάγμασιν.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἀνέστησας ὢ Σεμνή, τὴν πεπτωκυῖάν μου μορφὴν τέξασα, τὸν προφανῶς αἴτιον, τῆς ὑπερφυοῦς ἀναστάσεως.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου.

Τῷ πόθῳ τοῦ Χριστοῦ, τὴν ψυχὴν πυρουμένη, ὑπῆλθες ἀνδρικῶς, τῷ σφοδρῶς ἐκκαέντι, θεόφρον χαλκουργήματι, Πελαγία καὶ γέγονας, τῷ Δεσπότῃ σου, εὐωδεστάτη θυσία. Ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἠσχύνθη ὄφις ὁ ἐχθρός, κατεπατήθη ἡ ὀφρύς, τῶν χριστομαχούντων τυράννων, Πελαγία ἔνδοξε, τῇ κραταιᾷ ἐνστάσει σου· πόθῳ ὡς τετρωμένη γὰρ θείῳ, ὑπὲρ Χριστοῦ τὸ θανεῖν, τοῦ ζῆν προέκρινας.

Θυσία ζῶσα τῷ Θεῷ, ἐν χαλκουργήματι βοός, μάρτυς Πελαγία προσήχθης, καὶ αὐτῷ τὸ πνεῦμά σου, μαρτυρικῶς παρέδωκας· χάριν δὲ παρ' αὐτοῦ δεξαμένη, ὀμβροβλυτεῖς τοῖς πιστοῖς, χάριν ἀέναον.

Ἰάσεις βλύζεις δαψιλῶς, θαύματα μέγιστα τελεῖς, τοῖς προσερχομένοις ἐν πίστει, Πελαγία ἔνδοξε, τῇ δραστικῇ πρεσβείᾳ σου· Θεὸς γὰρ ἀληθῶς σε δοξάζει, μεγαλυνθεὶς ὢ σεμνή, τῷ μαρτυρίῳ σου.

Θεοτοκίον.

Ῥυπῶσαν κέκτημαι ψυχήν, ἄθεσμα ἔργα ἐκτελῶν, τῇ τοῦ πονηροῦ συμβουλίᾳ, καὶ πτοοῦμαι Δέσποινα, τὸ φοβερὸν κριτήριον· διὸ οὖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τὸν σαρκωθέντα ἐκ σοῦ, ποίησον ἵλεων.

Κανὼν δεύτερος. Ἐπαρθέντα σε ἰδοῦσα.

Τὴν τοῦ Δεσπότου πορφύραν ἐνδεδυμένη, διὰ λουτροῦ πανένδοξε, παλιγγενεσίας, πᾶσαν τὴν τοῦ βίου τερπνήν, πορφύραν ἐκδέδυσαι, μάρτυς Πελαγία πανέντιμε.

Ὁ πόθος τῶν οὐρανίων ὡραιοτήτων, τοὺς ἐπὶ γῆς ἠμαύρωσε, πόθους Ἀθληφόρε· ὅθεν ἐπτερώθης Χριστῷ, βοῶσα καὶ λέγουσα· Δόξα τῇ δυνάμει σου Κύριε.

Νενοθευμένην θρησκείαν καταλιποῦσα, τῇ τοῦ Χριστοῦ προσέδραμες, σαφῶς Πελαγία, μάρτυς παναοίδιμε, εἰδώλων πατήσασα, πᾶσαν τὴν ἀπάτην θεόληπτε.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὢ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέως.

Κατήργησας πλάνης εἰδώλων, ὢ Πελαγία τὸ σέβας, ἀγῶσι τοῦ μαρτυρίου, καὶ Χριστῷ νενύμφευσαι, πολλῶν βασάνων στίγμασιν, ὡραϊσθεῖσα λαμπρότατα.

Λικμῆσαι ψυχῆς σου τὸν πλοῦτον, ἐν μεθοδείαις βασάνων, οὐκ ἴσχυσεν ὁ δυνάστης, ἀλλ' εἰς τέλος τέτρωται, τῇ κραταιᾷ ἀθλήσει σου, ἣν Πελαγία γεραίρομεν.

Μαρτύρων ἀνδρείως τὸν δρόμον, ἐν φύσεως ἀσθενείᾳ, τελέσασα Πελαγία, πρὸς Θεὸν πυρίκαυστος, μετέστης καὶ τετύχηκας, δρόσου ζωῆς τῆς ἀμείνονος.

Θεοτοκίον.

Ἰσχύϊ ἁγία Παρθένε, τοῦ σαρκωθέντος ἀφράστως, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ῥωσθεῖσαι αἱ Μάρτυρες, τῶν τυραννούντων ἤσχυναν, πᾶσαν ἀντίθεον ἔπαρσιν.

Κανὼν δεύτερος. Σὺ Κύριέ μου φῶς.

Ἴσχυσας τοῦ ἐχθροῦ, καταλῦσαι τὸ φρύαγμα, πανεύφημε Πελαγία, τῷ Σταυρῷ τοῦ Δεσπότου, σωθεῖσα καὶ τῇ χάριτι.

Νῦν χαίρεις ἀληθῶς, συναφθεῖσα Νυμφίῳ σου, ὑπέρλαμπρε μαρτυρίου, καὶ τῆς σῆς παρθενίας, τὰς λαμπάδας κατέχουσα.

Θεοτοκίον.

Ὁ Κύριος ἐν σοί, Θεομῆτορ ἐσκήνωσε, τὸν ἄνθρωπον ἀναπλάττων, τὸν φθορᾷ πεπτωκότα, ἀπάτῃ τῇ τοῦ ὄφεως.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Νομίμως ἀγωνισαμένη σεμνή, ἡ ὁμόπολις τοῦ κήρυκος Παύλου, καθεῖλες τὴν τῶν ἀθέων ὀφρύν, καὶ ἐτράνωσας, τοῦ Χριστοῦ μαρτυρικῶς,

www.tezaurliturgic.ro



τὴν ἀμώμητον πίστην.

Ξενίζει ὦ Πελαγία σοφή, πᾶσαν ἔννοιαν ἡ σὴ καρτερία· δυνάμει γὰρ τοῦ Σταυροῦ σταθηρῶς, καθυπέμεινας, ἐν σταδίῳ τὰς πολλάς, τῶν βασάνων ἐφόδους.

Ὁλκάδι τῆς πρὸς Θεὸν ἀῤῥαγοῦς, πίστεώς τε καὶ ἐλπίδος αἰσίως, λιμένι ἐν ἀσφαλεῖ τῆς ζωῆς, σὺ προσώρμισαι, καὶ ἐπέτυχες σεμνή, ἀϊδίου γαλήνης.

Θεοτοκίον.

Λαμπάδα σε θείαν Παρθένε φωτός, ἐγνωκότες οἱ δεινῶς σκοτισθέντες, σκοτίᾳ ποικιλωνύμων παθῶν, σοὶ προστρέχομεν, διὰ σοῦ τὸν φωτισμόν, ἐξαιτοῦντες Μαρία.

Κανὼν δεύτερος. Θύσω σοι μετὰ φωνῆς.

Νομίμως, τῷ Χριστῷ νυμφευθεῖσα διήνυσας, τοῦ μαρτυρίου τὸν δρόμον, ἐπικαλουμένη τὸν σὸν Νυμφίον, καὶ λιμένι, γαληνοτάτῳ τούτῳ προσώρμισαι.

Ἐπλάκη, σῇ κορυφῇ ὡραιότατος στέφανος, δικαιοσύνης θεόφρον, Πελαγία μάρτυς στεφανηφόρε· τὴν γὰρ πίστιν, μέχρι τέλους ἐτήρησας ἄτρωτον.

Θεοτοκίον.

Τὸν μέν, πρὶν ἀκοαῖς τῆς Εὔας ἐξέχεεν, ὁ σκολιώτατος ὄφις· σὺ δὲ μόνη τοῦτον ἐξετινάξω, Θεομῆτορ, τὸν ἀναιρέτην τούτου κυήσασα.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἐν ἀσθενείᾳ τῆς σαρκὸς καλῶς τελέσασα
τοῦ μαρτυρίου τὴν ὁδὸν θεομακάριστε,
κληρονόμος τῆς ἀφθάρτου ὤφθης παστάδος,
καὶ Χριστῷ νῦν εὐκλεῶς συμβασιλεύουσα,
πελαγίζεις φερωνύμως χάριν ἄφθονον,
τοῖς βοῶσί σοι· Χαίροις Μάρτυς πολύαθλε.

Ὁ Οἶκος.

Μυστικῶς νυμφευθῆναι, τῷ Χριστῷ Πελαγία, στοργῇ ἐφιεμένη τελείᾳ, ποινῶν βασάνων καὶ πυρός, ἐν ἁπαλῷ κατετόλμησας σώματι, καὶ ὑπὲρ φύσιν ἤθλησας· διό σοι πάντες ἐκβοῶμεν·
Χαῖρε τὸ ἄνθος τῆς εὐσεβείας·
χαῖρε τὸ κρίνον τῆς εὐσθενείας.
Χαῖρε ἡ τοῦ Παύλου ὀλβία ὁμόπολις·
χαῖρε ἡ ὡραία νεᾶνις καὶ πάγκαλος.
Χαῖρε βέλη ἡ συντρίψασα νοουμένων δυσμενῶν·
χαῖρε ἄγος ἡ πατήσασα μισοθέων δυσσεβῶν.
Χαῖρε ὅτι μνηστῆρα σαρκικὸν ἐβδελύξω·
χαῖρε ὅτι προσκαίρους ἀπολαύσεις ἠρνήσω.
Χαῖρε Χριστοῦ τῷ πόθῳ ἀθλήσασα·
χαῖρε αὐτοῦ τὴν πίστιν τρανώσασα.
Χαῖρε πηγὴ θαυμάτων ἀστείρευτος·
χαῖρε πιστῶν προστάτης ἀκοίμητος.
Χαίροις Μάρτυς πολύαθλε.

Μηνολόγιον.

Τῇ Δ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς ἁγίας ἐνδόξου μάρτυρος Πελαγίας τῆς παρθένου, τῆς ἀπὸ Ταρσοῦ τῆς Κιλικίας.

Στίχοι.

Βοὸς τὸ χαλκούργημα πῦρ φανὲν φλέγον,
Βληθεῖσαν ἔνδον τὴν Πελαγίαν φλέγει.

Ἀμφὶ τετάρτῃ Πελαγίη καύθη βοΐ χαλκῷ.

Συναξάριον.

Αὕτη ἦν ἐκ Ταρσοῦ, ἐν τοῖς χρόνοις Διοκλητιανοῦ τοῦ βασιλέως. Ἀκούσασα δὲ περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ζητοῦσα μαθεῖν ὁποία τίς ἐστιν, ὄναρ τὸν Ἐπίσκοπον βαπτίζοντα ἐθεάσατο. Ἀπολυθεῖσα οὖν παρὰ τῆς μητρός, ὡς δῆθεν πρὸς τὴν τροφὸν ἀπελθεῖν, πρὸς τὸν Ἐπίσκοπον παρεγένετο· ὅς, ἐκ θείας ἐπιπνοίας κινηθείς, προσεδέξατο αὐτὴν καὶ ἐβάπτισεν· ὅπερ ὁ ἁρμοσάμενος αὐτὴν υἱὸς τοῦ βασιλέως ἀκούσας καὶ ὅλως τοῦ πάθους γενόμενος διὰ τὸν ἔρωτα, ἑαυτὸν ἀνεῖλεν. Ὁ δὲ Διοκλητιανός, μεταστειλάμενος τὴν παρθένον καὶ μεταστῆσαι ἀπὸ τῆς εἰς Χριστὸν πίστεως μὴ δυνηθείς, ταῦρον χαλκοῦν ἐκπυρώσας ἐν αὐτῷ τὴν Ἁγίαν ἔβαλεν, ἐν ᾧ ἅμα τὸ τέλος καὶ τὸν στέφανον τῆς ὁμολογίας ἐδέξατο.

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ὁ Παῖδας ἐκ καμίνου.

Πηγάζεις ἀενάως ἰάματα, καὶ νέμεις χαρίσματα, πᾶσι τοῖς πιστῶς, προσερχομένοις σῷ ναῷ, καὶ ὑμνοῦσι τὴν ἄφθιτον δόξαν σου, ἣν εὗρες ἐν οὐρανοῖς Πελαγία, στεῤῥῶς ὑπεραθλήσασα.

Ῥητόρων Πελαγία τρανότερον, τὴν πίστιν κηρύξασα, πλάνης ἐναγοῦς, τῆς τῶν εἰδώλων ἀνδρικῶς, τὴν ὀφρὺν τὴν παμβέβηλον ᾔσχυνας· τὴν γλῶσσάν σου γὰρ ἐκίνει ὡς πλῆκτρον, τὸ Πνεῦμα τὸ Παράκλητον.

Σωτῆρα τῶν ἀνθρώπων καὶ Κύριον, τρανῶς ὡμολόγησας, τὸν ἐπὶ Σταυροῦ, δι᾽ ἀγαθότητα πολλήν, ἑκουσίως παθόντα πολύαθλε· αὐτοῦ γὰρ ὦ Πελαγία ὁ πόθος, τὴν σὴν ψυχὴν κατέφλεξε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Λυχνίαν τοῦ φωτός σε τῆς γνώσεως, ἁγνὴ ὀνομάζομεν, πύλην τῆς ζωῆς, καὶ σωτηρίας κιβωτόν, Παναγία Παρθένε οἱ δοῦλοί σου, αἰτούμενοι σὴν σεπτὴν προστασίαν, ἐν βίῳ καὶ βοήθειαν.

Κανὼν δεύτερος. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Καμίνου δίκην, τὸ κεκαυμένον Μάρτυς ὄργανον, θείῳ πυρσουμένη ἔρωτι τοῦ Χριστοῦ, ὑπομένουσα ἐκραύγαζες· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ὁ περιβάλλων, τὸν οὐρανὸν ἐν νεφέλαις ἔνδοξε, Μάρτυς γυμνωθεῖσαν θείᾳ περιβολῇ, κατεφαίδρυνέ σε ψάλλουσαν· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύ, ἐν γυναιξὶ πανάμωμε Δέσποινα.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Αὕτη ἡ κλητή.

Τύραννον ἐχθρόν, Πελαγία θεόφρον, πατήσασα ἀνδρείως, ὑπερανθρώπῳ ἀθλήσει, ἐκ Θεοῦ εὐκλεῶς, τὸ διάδημα ἐδέξω τῆς νίκης σου, καὶ συμβασιλεύεις, αὐτῷ εἰς τοὺς αἰῶνας.

Ὕμνοις καὶ ᾠδαῖς, εὐφημοῦμέν σε Μάρτυς, τὸν σὲ ἐνισχυκότα, ὑπερυψοῦντες Δεσπότην, ὃν ἀεὶ ἐκτενῶς, σαῖς πρεσβείαις Πελαγία ἱκέτευε, δοῦναι τὴν εἰρήνην, ὡς εὔσπλαγχνος τῷ κόσμῳ.

Φέγγει μυστικῷ, τῆς ζωῆς αὐγασθεῖσα, καὶ ἔνδον τοῦ νυμφῶνος, περιχορεύουσα Μάρτυς, δραστικαῖς σου εὐχαῖς, τῷ Κυρίῳ Πελαγία προσάγαγε, διὰ μετανοίας, ὡς πλήρης συμπαθείας.

Θεοτοκίον.

Ὄμβρισον ἡμῖν, Θεοτόκε πλουσίως, ἐλέους σου ὑψόθεν, τὰ ζωοδώρητα ῥεῖθρα· αὐχμωθέντες γὰρ Ἁγνή, τῷ αὐχμῷ τῶν ἁμαρτάδων ὑπάρχομεν, τῇ τοῦ ἀρχεκάκου, κακίστῃ συμβουλίᾳ.

Κανὼν δεύτερος. Χεῖρας ἐκπετάσας.

Ὡς Μάρτυς ὡς λίαν ἀψευδής, Χριστοῦ πανεύφημε τὴν τούτου δύναμιν, ἐθεολόγησας ἅπαντας, θεοφρόνως ἐκδιδάσκουσα, καὶ πρὸς εὐσέβειαν λαοὺς εἵλκυσας ψάλλοντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σαφῶς μνηστευθεῖσα τῷ Χριστῷ, τὴν τοῦ τυράννου ὁρμὴν πᾶσαν κατέσβεσας, σοφίας πέλαγος βρύουσα, Πελαγία πανσεβάσμιε, καὶ διαδήμασι τρισὶ Μάρτυς κεκόσμησαι, εὐλογεῖτε, πάντα τὰ ἔργα βοῶσα τὸν Κύριον.

Θεοτοκίον.

Πατρὸς ἐξ ἀνάρχου τὸν Υἱόν, καὶ Πνεῦμα Ἅγιον, ὁμολογοῦμεν πιστοί, ἐκ σοῦ Πανάμωμε λέγοντες, σεσαρκῶσθαι τὸν συνάναρχον, μονογενῆ Λόγον Πατρὶ καὶ Θείῳ Πνεύματι, καὶ βοῶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Φωτίζου φωτίζου.

Χαρίτων ἐδέξω, ἐπουρανίων δωρεάς, τῷ Κυρίῳ θυσίαν, σεαυτὴν προσάξασα, ὃν ἐκτενῶς ἐκδυσώπει ἡμῖν, δοῦναι σεμνή, μάρτυς Πελαγία, τῶν ὀφλημάτων τὴν ἄφεσιν.

Ψαλμοῖς τε καὶ ὕμνοις, καὶ ἐγκωμίοις οἱ πιστοί, Πελαγία τιμῶμεν, τὴν λαμπράν σου ἄθλησιν, τὸν θαυμαστὸν ἐν Ἁγίοις Θεόν, τὸν τὴν ἰσχύν, ἄνωθέν σοι δόντα, ἐν εὐλαβείᾳ δοξάζοντες.

Ὢ ἔνδοξε Μάρτυς, νύμφη ἀκήρατε Χριστοῦ, Ἐκκλησίας ἡ δόξα, τῶν πιστῶν εὐπρέπεια, τῆς μυστικῆς μετασχοῦσα χαρᾶς, αἴτει ἡμῖν, πᾶσι Πελαγία, παρὰ Κυρίου τὰ κρείττονα.

Θεοτοκίον.

Ὑπέραγνε Κόρη, ἡ σωματώσασα Χριστόν, καὶ ἀνθρώπων τῷ γένει, τὴν ζωὴν πηγάσασα, ἐν μητρικῇ παῤῥησίᾳ ἀεί, ὑπὲρ ἡμῶν, πρέσβευε Παρθένε, τῶν Θεοτόκον φρονούντων σε.

Κανὼν δεύτερος. Λίθος ἀχειρότμητος.

Λόγος ἐξειπεῖν οὐκ ἰσχύει, τοὺς σοὺς ἐπαίνους Πελαγία· πέλαγος θαυμάτων γὰρ βρύεις, τοῦ σοῦ Νυμφίου ῥώμῃ καὶ χάριτι· ὅνπερ καὶ νῦν δυσώπησον, πάντας σωθῆναι τοὺς ὑμνοῦντάς σε.

Ἔστης τῆς ἐφέσεως νύμφη, στεφανηφόρε Πελαγία, τῷ τῶν ὀρεκτῶν ἀκροτάτῳ, ἀξιωθεῖσα μάρτυς παρίστασθαι, καὶ τὴν τρυφὴν ἀπείληφας τῆς αἰωνίου ἀπολαύσεως.

Κόσμῳ τὴν εἰρήνην βραβεύειν, τὸν σὸν Νυμφίον ἐκδυσώπει, μάρτυς Πελαγία θεόφρον, τὴν Ἐκκλησίαν διαφυλάττουσα, ἐκ πειρασμῶν καὶ χάριτι, τοὺς σὲ ὑμνοῦντας καταυγάζουσα.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὡράθης Παρθένος καὶ Μήτηρ, ὑπερφυῶς Θεογεννῆτορ, Λόγον συλλαβοῦσα τοῦ Θεοῦ, καὶ σαρκωθέντα τοῦτον γεννήσασα· δι᾿ οὗπερ νῦν σῳζόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀῤῥενωθεῖσα χάριτι, τοῦ Σταυροῦ Πελαγία, προσκαίρου ὡραιότητος, νουνεχῶς οὐκ ἐφείσω, ἀλλὰ σαυτὴν ταῖς βασάνοις, ἐκδοῦσα ἐθελουσίως, ἀθανασίας ἔνδυμα, τὸ φαιδρὸν ἠμφιέσω, καὶ πρὸς ζωῆς, τὴν παστάδα ἔδραμες λαμπροφόρος, ἔνθα Χριστῷ νενύμφευσαι, τῶν ψυχῶν τῷ νυμφίῳ.

Ἕτερον. Τῶν Μαθητῶν ὁρώντων σε.

Ἐν τῇ εὐσήμῳ σήμερον πανηγύρει, τῆς πανενδόξου μάρτυρος Πελαγίας, αἶνον τῷ Σωτῆρι δῶμεν βοῶντες· Ὦ πανοικτίρμον Κύριε, τῆς Ἀθληφόρου πρεσβείαις, ἐλέησον τοὺς σοὺς δούλους.

Καὶ τὸ τῆς Ἑορτῆς.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς Πελαγία ἔνδοξε, ἐξ ἀκανθῶν ἀληθῶς, γεωργίᾳ τῇ ἄνωθεν, ἄνθος ἀνεβλάστησας, εὐσεβείας μυρίπνοον, καὶ μαρτυρίου ὀσμὴν διέπνευσας, τῇ Ἐκκλησίᾳ ὑπεραθλήσασα. Ὅθεν σε σήμερον, ἐκτελοῦντες μνήμην σου τὴν φωταυγῆ, ὡς Χριστοῦ ἀήττητον, Μάρτυρα μέλπομεν.

Μάρτυς Πελαγία ἔνδοξε, στοιχειουμένη Χριστοῦ, ὁλοτρόπως τῷ ἔρωτι, τούτῳ ὡς ἀνάθημα, ἑαυτὴν προσανέθηκας, ᾧ καὶ ἀνέδραμες ἀνδρικώτατα, ποινῶν ποικίλων κατατολμήσασα. Ὅθεν ὡς ἔχουσα, παῤῥησίαν πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἀνευφημούντων σου, τὰ κατορθώματα.

Μάρτυς Πελαγία ἔνδοξε, νεᾶνις ὤφθης καλή, καὶ ὡραία καὶ πάγκαλος, ὡς φησὶ τὸ λόγιον, τῇ ψυχῇ καὶ τῷ σώματι, καὶ τῷ ὡραίῳ κάλλει νενύμφευσαι, Χριστῷ ἀνδρείως πυρὶ ἀθλήσασα· οὗ ἀπολαύουσα, νῦν τῆς ὡραιότητος τῆς μυστικῆς, ἱερῶς μνημόνευε, τῶν εὐφημούντων σε.

Μάρτυς Πελαγία ἔνδοξε, τῇ τοῦ Κυρίου φωνῇ, νουνεχῶς πειθαρχήσασα, σκύβαλα λελόγισαι, τὰς προσκαίρους τερπνότητας, καὶ μαρτυρίου τοῖς κατορθώμασι, τῆς παρθενίας στολὴν κοσμήσασα, νύμφη ἀκήρατος, τοῦ Σωτῆρος πέφηνας ᾧ ἐκτενῶς, πρέσβευε δωρήσασθαι, ἡμῖν τὰ κρείττονα.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Μαρτυρικὴν οἱ εὐσεβεῖς πανήγυριν, σήμερον τελουμένην θεώμενοι, τῇ εὐκλεεῖ ταύτης προξένῳ, Πελαγίᾳ τῇ καλλιμάρτυρι, ψαλμικῶς τὰς χεῖρας κροτοῦντες, ἐν ἀγαλλιάσει ἀνακράξωμεν· Χαίροις ἡ διὰ τοῦ θείου Βαπτίσματος, τῆς πίστεως τὴν ἰσχὺν ἀναλαβοῦσα, καὶ ἐν αὐτῇ τῶν ἀθέων τὴν μανίαν, εἰς γῆν ἀνδρικῶς καταβαλοῦσα· χαίροις ἡ τῆς ἁγνείας τὴν στολήν, τοῖς τῶν βασάνων ὡραΐσασα στίγμασι, καὶ διὰ τῆς ἐν πυρὶ τελειώσεως, πρὸς νυμφῶνα τὸν ἄφθαρτον δραμοῦσα· χαίροις Παρθενομάρτυς τοῦ Χριστοῦ, κόρη σεμνὴ ὡραιόμορφε, ἡ τῶν παρθένων σεμνότης, καὶ τῶν πιστῶν ἐν ἀνάγκαις ἀντίληψις. Παῤῥησίαν οὖν μεγίστην ὡς ἔχουσα, πρὸς τὸν φιλάνθρωπον Θεόν, τὴν εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ια΄ Ἰουλίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις καλλιμάρτυς τοῦ Ἰησοῦ, ἀθέων τὴν πλάνην, ἐκφαυλίσασα ἀνδρικῶς· χαίροις Πελαγία, λελαμπρυσμένη κόρη, ἡ πίστεως δυνάμει, ἀνδραγαθήσασα.

*Δίστιχον.*

*Πελαγία πρόσδεξαι τὸν ὕμνον τόνδε*
*Χάριν πελαγίζων μοι θείαν Κυρίλλῳ.*